Bar. 1884. III, 32

# ΔΙΔΑΧΗ

ΤΩΝ

ΔΩΔΕΚΑ ΑΠΟΣΤΟΛΩΝ.

E CODICE HIEROSOLYMITANO, NUNC CONSTANTINOPOLITANO,

NUPERRIME PRIMUS EDIDIT

PHILOTHEOS BRYENNIOS,

IN USUM STUDIOSAE IUVENTUTIS

REPETIIT

J. J. PRINS,
Theol. Doct. et Prof. in Universitate Lugduno-Batava.

LUGDUNI-BATAVORUM
E. J. BRILL.
MDCCCLXXXIV.

RIJKSUNIVERSITEIT TE UTRECHT
2451 576 3

# ΔΙΔΑΧΗ

ΤΩΝ

# ΔΩΔΕΚΑ ΑΠΟΣΤΟΛΩΝ.

E CODICE HIEROSOLYMITANO, NUNC CONSTANTINOPOLITANO,

NUPERRIME PRIMUS EDIDIT

PHILOTHEOS BRYENNIOS,

IN USUM STUDIOSAE IUVENTUTIS

REPETIIT

J. J. PRINS,
Theol. Doct. et Prof. in Universitate Lugduno-Batava.

LUGDUNI-BATAVORUM
E. J. BRILL.
MDCCCLXXXIV.

UNIVERSITEITS BIBLIOTHEEK - UTRECHT -

# LECTORI BENEVOLO

S.

---

Accipis opusculum magnæ antiquitatis, e medio quippe æræ nostræ seculo secundo, ut videtur, oriundum, quod diu latuerat. Memoravit illud τῆς Γραφῆς nomine in *Stromatibus* suis Clemens Alexandrinus. Laudavit Eusebius in loco H. E. celeberrimo, L. III, c. 25, post Hermæ Pastorem et Apocalypsin Petri una cum Barnabæ epistola τῶν ἀποστόλων τὰς λεγομένας Διδαχάς, et numero quidem plurali, pro quo Rufinus singularem substituit. Idem opus, licet extracanonicum, legendum commendavit veteris ecclesiæ catechumenis Athanasius in *epistola festali.* Legitur tandem inter Thomæ Euangelium et Clementis epistolas in Nicephori *Stichometria* sic: Διδαχὴ ἀποστόλων στίχοι σ'. Hæc igitur antiquissima Διδαχή, quæ iniuria temporum periisse credebatur, haud ita pridem in lucem prodiit e codice quodam hierosolymitano, anno 1056 exarato, quem descripsit et in suos usus convertit vir literarum reique christianæ peritissimus Philotheos Bryennios, Metropolitanus Σερρῶν, nunc Νικομηδείας. Nimirum ex illo codice

anno 1875 Constantinopoli ediderat τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κλήμεντος ἐπισκόπου Ῥώμης τὰς δύο πρὸς Κορινθίους ἐπιστολάς, integre servatas. Jam vero post septem annorum curas ibidem in lucem emisit τὴν Διδαχὴν τῶν δώδεκα ἀποστόλων, præmissis eruditis prolegomenis additisque annotationibus haud paucis Græce scriptis. Hoc autem antiquitatis christianæ monumentum gravissimum, de cuius αὐθεντίᾳ et integritate non est dubitandum, pretio æstimandum esse haud exiguo, præsertim antiquissimæ historiæ ecclesiasticæ causa, unusquisque facile intelligit. Quapropter, ut in omnium notitiam perveniret, operæ pretium mihi facturus videbar, si textum græcum accurate describerem et ederem. In quo opere peragendo suo mihi auxilio adfuit COBETUS noster, Vir clarissimus. De nostro nihil addidimus praeter locos S. S. laudatos aut parallelos. Quæ vero nobis corrupta viderentur, asterisco notavimus. Cetera, quæ scire alicujus interest, collegit BRYENNIOS.

Tu autem, lector benevole! vale mihique fave.

---

# ΔΙΔΑΧΗ

ΤΩΝ

## ΔΩΔΕΚΑ ΑΠΟΣΤΟΛΩΝ.

---

Διδαχὴ Κυρίου διὰ τῶν δώδεκα ἀποστόλων τοῖς ἔθνεσιν.

Cap. I.

Ὁδοὶ δύο εἰσί, μία τῆς ζωῆς καὶ μία τοῦ θανάτου [1]), διαφορὰ δὲ πολλὴ μεταξὺ τῶν δύο ὁδῶν. Ἡ μὲν οὖν ὁδὸς τῆς ζωῆς ἐστιν αὕτη· πρῶτον, ἀγαπήσεις τὸν Θεὸν τὸν ποιήσαντά σε· δεύτερον, τὸν πλησίον σου ὡς σεαυτόν [2]): πάντα δὲ ὅσα ἂν θελήσῃς μὴ γίνεσθαί σοι, καὶ σὺ ἄλλῳ μὴ ποίει [3]). Τούτων δὲ τῶν λόγων ἡ διδαχή ἐστιν αὕτη· Εὐλογεῖτε τοὺς καταρωμένους ὑμῖν καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν, νηστεύετε δὲ ὑπὲρ τῶν διωκόντων ὑμᾶς· ποία γὰρ χάρις, ἐὰν ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς; οὐχὶ καὶ τὰ ἔθνη τὸ αὐτὸ ποιοῦσιν [4]); ὑμεῖς δὲ ἀγαπᾶτε τοὺς μισοῦντας ὑμᾶς καὶ οὐχ

---

1) Jerem. XXI. 8, Matth. VII. 13, 14.
2) Matth. XXII. 37—39.
3) Matth. VII. 12, Luc. VI. 31.
4) Luc. VI. 28, 32, Matth. V. 44, 46.

ἕξετε ἐχθρόν [1]). Ἀπέχου τῶν σαρκικῶν καὶ κοσμικῶν ἐπιθυμιῶν [2]). Ἐάν τις σοι δῷ ῥάπισμα εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην, καὶ ἔσῃ τέλειος· ἐὰν ἀγγαρεύσῃ σέ τις μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο· ἐὰν ἄρῃ τις τὸ ἱμάτιόν σου, δὸς αὐτῷ καὶ τὸν χιτῶνα· ἐὰν λάβῃ τις ἀπὸ σοῦ τὸ σόν, μὴ ἀπαίτει [3])· οὐδὲ γαρ δύνασαι. Παντὶ τῷ αἰτοῦντί σε δίδου καὶ μὴ ἀπαίτει [4])· πᾶσι γὰρ θέλει δίδοσθαι ὁ πατὴρ ἐκ τῶν ἰδίων χαρισμάτων [5]). Μακάριος ὁ διδοὺς κατὰ τὴν ἐντολήν· ἀθῷος γάρ ἐστιν [6])· οὐαὶ τῷ λαμβάνοντι· εἰ μὲν γὰρ χρείαν ἔχων λαμβάνει τις, ἀθῷος ἔσται· ὁ δὲ μὴ χρείαν ἔχων δώσει δίκην, ἱνατί ἔλαβε καὶ εἰς τί, ἐν συνοχῇ δὲ γενόμενος ἐξετασθήσεται περὶ ὧν ἔπραξε, καὶ οὐκ ἐξελεύσεται ἐκεῖθεν μέχρις οὗ ἀποδῷ τὸν ἔσχατον κοδράντην [7]). Ἀλλὰ καὶ περὶ τούτου δὴ [8]) εἴρηται· Ἱδρωσάτω [9]) ἡ ἐλεημοσύνη σου εἰς τὰς χεῖράς σου, μέχρις ἂν γνῷς τίνι δῷς.

## Cap. II.

Δευτέρα δὲ ἐντολὴ τῆς διδαχῆς· Οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ παιδοφθορήσεις, οὐ πορνεύσεις, οὐ κλέψεις, οὐ μαγεύσεις, οὐ φαρμακεύσεις [10]), οὐ φονεύσεις τέκνον * ἐν φθορᾷ οὐδὲ γεννηθέντα ἀποκτενεῖς [11]). Οὐκ ἐπιθυμήσεις τὰ τοῦ πλησίον, οὐ ψευδομαρτυρήσεις, οὐ κακολογήσεις [12]), οὐ μνησικακήσεις [13]). Οὐκ ἔσῃ διγνώμων οὐδὲ δίγλωσσος· παγὶς γὰρ

1) Luc. VI. 27, 35, 2) 1 Petr. II. 11, Tit. II. 12.
3) Matth. V. 39—48, Luc. VI. 29, 20.
4) Luc. VI. 30. 5) Matth. V. 45, Gal. VI. 10.
6) Matth. V. 7. 7) Matth. V. 25, 26, Luc. XII. 58, 59.
8) Legitur in MS. δέ. 9) Legitur in MS. ἱδρωτάτω.
10) Cf. Gal. V. 20.
11) Edidit Bryennios per conjecturam γεννηθέν.
12) Cf. Matth. XV. 4, V. 22. 13) Cf. Zach. VIII. 17.

θανάτου ἡ διγλωσσία [1]). Οὐκ ἔσται ὁ λόγος σου ψευδής, οὐ κενός, ἀλλὰ μεμεστωμένος πράξει [2]). Οὐκ ἔσῃ πλεονέκτης οὐδὲ ἅρπαξ οὐδὲ ὑποκριτὴς οὐδὲ κακοήθης οὐδὲ ὑπερήφανος [3]). Οὐ λήψῃ βουλὴν πονηρὰν κατὰ τοῦ πλησίον σου. Οὐ μισήσεις πάντα ἄνθρωπον, ἀλλὰ οὓς μὲν ἐλέγξεις, περὶ δὲ ὧν προσεύξῃ, οὓς δὲ ἀγαπήσεις ὑπὲρ τὴν ψυχήν σου [4]).

## Cap. III.

Τέκνον μου, φεῦγε ἀπὸ παντὸς πονηροῦ καὶ ἀπὸ παντὸς ὁμοίου αὐτῷ [5]). Μὴ γίνου ὀργίλος· ὁδηγεῖ γὰρ ἡ ὀργὴ πρὸς τὸν φόνον· μηδὲ ζηλωτὴς μηδὲ ἐριστικὸς μηδὲ θυμικός· ἐκ γὰρ τούτων ἁπάντων φόνοι γεννῶνται [6]). Τέκνον μου, μὴ γίνου ἐπιθυμητής· ὁδηγεῖ γὰρ ἡ ἐπιθυμία πρὸς τὴν πορνείαν· μηδὲ αἰσχρολόγος [7]) μηδὲ ὑψηλόφθαλμος· ἐκ γὰρ τούτων ἁπάντων μοιχεῖαι γεννῶνται. Τέκνον μου, μὴ γίνου οἰωνοσκόπος, ἐπειδὴ ὁδηγεῖ εἰς τὴν εἰδωλολατρείαν [8])· μηδὲ ἐπαοιδὸς μηδὲ μαθηματικὸς μηδὲ περικαθαίρων, μηδὲ θέλε αὐτὰ βλέπειν· ἐκ γὰρ τούτων ἁπάντων εἰδωλολατρεία γεννᾶται. Τέκνον μου, μὴ γίνου ψεύστης, ἐπειδὴ ὁδηγεῖ τὸ ψεῦσμα εἰς τὴν κλοπήν· μηδὲ φιλάργυρος μηδὲ κενόδοξος· ἐκ γὰρ τούτων ἁπάντων κλοπαὶ γεννῶνται. Τέκνον μου, μὴ γίνου γόγγυσος, ἐπειδὴ ὁδηγεῖ εἰς τὴν βλασφημίαν [9])· μηδὲ αὐθάδης [10]) μηδὲ πονηρόφρων· ἐκ γὰρ τούτων ἁπάντων βλασφημίαι γεννῶνται. Ἴσθι

---

1) Cf. 1 Tim. III. 8. 2) Cf. Matth. V. 37, XXIII 3.
3) Cf. 1 Petr. II. 1, Rom. I. 29. 4) Cf. Jud. 22.
5) 1 Thess. V. 22, Rom. XII. 9. Edidit Bryennios αὐτοῦ.
6) Prov. XXIX. 22, Jac. I. 19, 20, III. 16.
7) Cf. Col. III. 8, Eph. V. 3, 4.
8) Lev. XIX. 26, 31, Deut. XVIII. 9—12.
9) Jud. 16, Phil. II. 14. 10) Cf. 2 Petr. II. 10.

δὲ πραύς, ἐπεὶ οἱ πραεῖς κληρονομήσουσι τὴν γῆν [1]). Γίνου μακρόθυμος καὶ ἐλεήμων [2]) καὶ ἄκακος καὶ ἡσύχιος καὶ ἀγαθὸς καὶ τρέμων τοὺς λόγους διὰ παντός, οὓς ἤκουσας [3]). Οὐχ ὑψώσεις σεαυτὸν οὐδὲ δώσεις τῇ ψυχῇ σου θράσος [4]). Οὐ κολληθήσεται ἡ ψυχή σου μετὰ ὑψηλῶν, ἀλλὰ μετὰ δικαίων καὶ ταπεινῶν ἀναστραφήσῃ. Τὰ συμβαίνοντά σοι ἐνεργήματα ὡς ἀγαθὰ προσδέξῃ, εἰδὼς ὅτι ἄτερ Θεοῦ οὐδὲν γίνεται.

## Cap. IV.

Τέκνον μου, τοῦ λαλοῦντός σοι τὸν λόγον τοῦ Θεοῦ μνησθήσῃ νυκτὸς καὶ ἡμέρας [5]), τιμήσεις δὲ αὐτὸν ὡς Κύριον· ὅθεν γὰρ ἡ κυριότης λαλεῖται, ἐκεῖ Κύριός ἐστιν. Ἐκζητήσεις δὲ καθ' ἡμέραν τὰ πρόσωπα τῶν ἁγίων, ἵνα ἐπαναπαύῃ τοῖς λόγοις αὐτῶν. Οὐ ποιήσεις σχίσμα, εἰρηνεύσεις δὲ μαχομένους· κρινεῖς δικαίως, οὐ λήψῃ πρόσωπον ἐλέγξαι ἐπὶ παραπτώμασιν [6]). Οὐ διψυχήσεις, πότερον ἔσται ἢ οὔ [7]). Μὴ γίνου πρὸς μὲν τὸ λαβεῖν ἐκτείνων τὰς χεῖρας, πρὸς δὲ τὸ δοῦναι συσπῶν [8])· ἐὰν ἔχῃς, διὰ τῶν χειρῶν σου δώσεις λύτρωσιν ἁμαρτιῶν σου [9]). Οὐ διστάσεις δοῦναι οὐδὲ διδοὺς γογγύσεις [10])· γνώσῃ γὰρ τίς ἐστιν ὁ [11]) τοῦ μισθοῦ καλὸς ἀνταποδότης· Οὐκ ἀποστραφήσῃ τὸν ἐνδεόμενον [12]), συγκοινωνήσεις δὲ πάντα τῷ ἀδελφῷ σου καὶ οὐκ ἐρεῖς ἴδια εἶναι [13])· εἰ γὰρ ἐν τῷ ἀθανάτῳ κοινωνοί ἐστε, πόσῳ μᾶλλον ἐν τοῖς θνητοῖς [14]). Οὐκ

---

1) Matfh. V. 5.
2) Cf. Col. III. 12.
3) Jes. LXVI. 2.
4) Rom. XII. 16.
5) Hebr. XIII. 7.
6) Lev. XIX. 15, Deut. XVI. 19.
7) Jac. I. 8.
8) Cf. Act. XX. 35.
9) Dan. IV. 27.
10) 2 Cor. IX. 7, 1 Petr. IV. 9.
11) Legitur in MS. ἡ.
12) Jes. Sirac. IV. 5.
13) Act. IV. 32, Rom. XII. 13.
14) Rom. XV. 27.

ἀρεῖς τὴν χεῖρά σου ἀπὸ τοῦ υἱοῦ σου ἢ ἀπὸ τῆς θυγατρός σου, ἀλλὰ ἀπὸ νεότητος διδάξεις τὸν φόβον τοῦ Θεοῦ [1]). Οὐκ ἐπιτάξεις δούλῳ σου ἢ παιδίσκῃ, τοῖς ἐπὶ τὸν αὐτὸν Θεὸν ἐλπίζουσιν, ἐν πικρίᾳ σου, μήποτε οὐ μὴ φοβηθήσονται τὸν ἐπ' ἀμφοτέροις Θεόν· οὐ γὰρ ἔρχεται κατὰ πρόσωπον καλέσαι, ἀλλ' ἐφ' οὓς τὸ πνεῦμα ἡτοίμασεν. Ὑμεῖς δὲ οἱ δοῦλοι [2]) ὑποταγήσεσθε τοῖς κυρίοις ὑμῶν [3]) ὡς τύπῳ Θεοῦ ἐν αἰσχύνῃ καὶ φόβῳ [4]). Μισήσεις πᾶσαν ὑπόκρισιν καὶ πᾶν ὃ μὴ ἀρεστὸν τῷ Κυρίῳ. Οὐ μὴ ἐγκαταλίπῃς ἐντολὰς Κυρίου, φυλάξεις δὲ ἃ παρέλαβες, μήτε προστιθεὶς μήτε ἀφαιρῶν [5]). Ἐν ἐκκλησίᾳ ἐξομολογήσῃ τὰ παραπτώματά σου [6]), καὶ οὐ προσελεύσῃ ἐπὶ προσευχήν σου ἐν συνειδήσει πονηρᾷ. Αὕτη ἐστὶν ἡ ὁδὸς τῆς ζωῆς.

## Cap. V.

Ἡ δὲ τοῦ θανάτου ὁδός ἐστιν αὕτη· πρῶτον πάντων πονηρά ἐστι καὶ κατάρας μεστή· φόνοι, μοιχεῖαι, ἐπιθυμίαι, πορνεῖαι, κλοπαί, εἰδωλολατρεῖαι, μαγεῖαι, φαρμακεῖαι, ἁρπαγαί, ψευδομαρτυρίαι, ὑποκρίσεις, διπλοκαρδία, δόλος, ὑπερηφανία, κακία, αὐθάδεια, πλεονεξία, αἰσχρολογία, ζηλοτυπία, θρασύτης, ὕψος, ἀλαζονεία· διῶκται ἀγαθῶν, μισοῦντες ἀλήθειαν, ἀγαπῶντες ψεῦδος, οὐ γινώσκοντες μισθὸν δικαιοσύνης, οὐ κολλώμενοι ἀγαθῷ οὐδὲ κρίσει δικαίᾳ, ἀγρυπνοῦντες οὐκ εἰς τὸ ἀγαθόν, ἀλλ' εἰς τὸ πονηρόν [7])· ὧν μακρὰν πραΰτης καὶ ὑπομονή, μάταια ἀγαπῶντες, διώκοντες ἀνταπόδομα, οὐκ ἐλεοῦντες πτωχόν, οὐ πονοῦντες ἐπὶ καταπονουμένῳ, οὐ γινώσκοντες τὸν ποιήσαντα αὐτούς, φονεῖς τέκνων, φθορεῖς πλάσ-

---

1) Eph. VI. 4.
2) Legitur in MS. δοῦλοι sine art.
3) Legitur in MS. ἡμῶν.
4) Eph. VI. 5, 9.
5) Deut. XII. 32, Apoc. XXII. 14, 18, 19.
6) Cf. Jac. V. 16.
7) Cf. Eph. VI. 18.

ματος Θεοῦ, ἀποστρεφόμενοι τὸν ἐνδεόμενον, καταπονοῦντες τὸν θλιβόμενον, πλουσίων παράκλητοι, πενήτων ἄνομοι κριταί, πανθαμάρτητοι· ῥυσθείητε, τέκνα, ἀπὸ τούτων ἁπάντων.

Cap. VI.

Ὅρα μή τις σε πλανήσῃ ἀπὸ ταύτης τῆς ὁδοῦ τῆς διδαχῆς, ἐπεὶ παρεκτὸς Θεοῦ σε διδάσκει. Εἰ μὲν γὰρ δύνασαι βαστάσαι ὅλον τὸν ζυγὸν τοῦ Κυρίου, τέλειος ἔσῃ [1])· εἰ δὲ οὐ δύνασαι, ὃ δύνῃ τοῦτο ποίει. Περὶ δὲ τῆς βρώσεως, ὃ δύνασαι βάστασον· ἀπὸ δὲ τοῦ εἰδωλοθύτου λίαν πρόσεχε· λατρεία γάρ ἐστι θεῶν νεκρῶν.

Cap. VII.

Περὶ δὲ τοῦ βαπτίσματος, οὕτω βαπτίσατε· ταῦτα πάντα προειπόντες, βαπτίσατε εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος [2]) ἐν ὕδατι ζῶντι. Εὰν δὲ μὴ ἔχῃς ὕδωρ ζῶν, εἰς ἄλλο ὕδωρ βάπτισον· εἰ δ' οὐ δύνασαι ἐν ψυχρῷ, ἐν θερμῷ. Εὰν δὲ ἀμφότερα μὴ ἔχῃς, ἔκχεον εἰς τὴν κεφαλὴν τρὶς ὕδωρ εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. Πρὸ δὲ τοῦ βαπτίσματος προνηστευσάτω ὁ βαπτίζων καὶ ὁ βαπτιζόμενος καὶ εἴ τινες ἄλλοι δύνανται· κελεύσεις [3]) δὲ νηστεῦσαι τὸν βαπτιζόμενον πρὸ μιᾶς ἢ δύο.

Cap. VIII.

Αἱ δὲ νηστεῖαι ὑμῶν μὴ ἔστωσαν μετὰ τῶν ὑποκριτῶν [4])· νηστεύουσι γὰρ δευτέρᾳ σαββάτων καὶ πέμπτῃ [5])· ὑμεῖς δὲ νηστεύσατε τετράδα καὶ παρασκευήν. Μηδὲ προσεύχεσθε ὡς

1) Matth. XI. 29, 30, XIX. 21.
2) Matth. XXVIII. 19.
3) In MS. legitur κελεύεις.
4) Matth. VI. 17.
5) Luc. XVIII. 12.

οἱ ὑποκριταὶ ἀλλ' ὡς ἐκέλευσεν ὁ Κύριος ἐν τῷ εὐαγγελίῳ αὐτοῦ [1]), οὕτω προσεύχεσθε· Πάτερ ἡμῶν ὁ ἐν τῷ οὐρανῷ, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω [2]) τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὴν ὀφειλὴν ἡμῶν ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Τρὶς τῆς ἡμέρας οὕτω προσεύχεσθε [3]).

## Cap. IX.

Περὶ δὲ τῆς εὐχαριστίας, οὕτως εὐχαριστήσατε· πρῶτον περὶ τοῦ ποτηρίου· Εὐχαριστοῦμέν σοι, Πάτερ ἡμῶν, ὑπὲρ τῆς ἁγίας ἀμπέλου Δαβὶδ τοῦ παιδός σου, ἧς ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου· σοὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Περὶ δὲ κλάσματος· Εὐχαριστοῦμέν σοι, Πάτερ ἡμῶν, ὑπὲρ τῆς ζωῆς καὶ γνώσεως, ἧς ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ, τοῦ παιδός σου· σοὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ὥσπερ ἦν τοῦτο κλάσμα διεσκορπισμένον ἐπάνω τῶν ὀρέων καὶ συναχθὲν ἐγένετο ἕν, οὕτω συναχθήτω σου ἡ ἐκκλησία ἀπὸ τῶν περάτων τῆς γῆς εἰς τὴν σὴν βασιλείαν· ὅτι σοῦ ἐστιν ἡ δόξα καὶ ἡ δύναμις διὰ Ἰησοῦ Χριστοῦ εἰς τοὺς αἰῶνας. Μηδεὶς δὲ φαγέτω μηδὲ πιέτω ἀπὸ τῆς εὐχαριστίας ὑμῶν, ἀλλ' οἱ βαπτισθέντες εἰς ὄνομα Κυρίου [4])· καὶ γὰρ περὶ τούτου εἴρηκεν ὁ Κύριος· Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσί [5]).

## Cap. X.

Μετὰ δὲ τὸ ἐμπλησθῆναι οὕτως εὐχαριστήσατε· Εὐχαριστοῦ-

1) Matth. VI. 5—13. Luc. XI. 2—4.
2) Legitur in MS. γεννηθήτω.
3) Cf. Dan. VI. 11.
4) Cf. Act. VIII. 16, XIX. 5.
5) Matth. VII. 6.

μέν σοι, Πάτερ ἅγιε [1]), ὑπὲρ τοῦ ἁγίου ὀνόματός σου, οὗ κατεσκήνωσας ἐν ταῖς καρδίαις ἡμῶν [2]), καὶ ὑπὲρ τῆς γνώσεως καὶ πίστεως καὶ ἀθανασίας, ἧς ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου· σοὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Σύ, δέσποτα παντοκράτορ, ἔκτισας τὰ πάντα ἕνεκεν τοῦ ὀνόματός σου, τροφήν τε καὶ πότον ἔδωκας τοῖς ἀνθρώποις εἰς ἀπόλαυσιν ἵνα σοι εὐχαριστήσωσιν, ἡμῖν δὲ ἐχαρίσω πνευματικὴν τροφὴν καὶ πότον καὶ ζωὴν αἰώνιον διὰ τοῦ παιδός σου. Πρὸ πάντων εὐχαριστοῦμέν σοι ὅτι δυνατὸς εἶ· σοὶ [3]) ἡ δόξα εἰς τοὺς αἰῶνας. Μνήσθητι, Κύριε, τῆς ἐκκλησίας σου τοῦ ῥύσασθαι αὐτὴν ἀπὸ παντὸς πονηροῦ [4]) καὶ τελειῶσαι αὐτὴν ἐν τῇ ἀγάπῃ σου [5]), καὶ σύναξον αὐτὴν ἀπὸ τῶν τεσσάρων ἀνέμων [6]) τὴν ἁγιασθεῖσαν εἰς τὴν σὴν βασιλείαν, ἣν ἡτοίμασας αὐτῇ [7])· ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἐλθέτω χάρις καὶ παρελθέτω ὁ κόσμος οὗτος. Ὡσαννὰ τῷ υἱῷ [8]) Δαβίδ. Εἴ τις ἅγιός ἐστιν, ἐρχέσθω· εἴ τις οὐκ ἔστι, μετανοείτω· Μαραναθά. Ἀμήν [9]). Τοῖς δὲ προφήταις ἐπιτρέπετε εὐχαριστεῖν ὅσα θέλουσιν.

## Cap. XI.

Ὃς ἂν οὖν ἐλθὼν διδάξῃ ὑμᾶς ταῦτα πάντα, τὰ προειρημένα, δέξασθε αὐτόν· ἐὰν δὲ αὐτὸς ὁ διδάσκων στραφεὶς διδάσκῃ ἄλλην διδαχὴν εἰς τὸ καταλῦσαι, μὴ αὐτοῦ ἀκούσητε [10])·

---

1) Joh. XVII. 11.
2) ὑμῶν legitur in MS.
3) Legitur σύ in MS.
4) Cf. 2 Tim. IV. 18.
5) Cf. 1 Joh. IV. 18.
6) Cf. Matth. XXIV. 31.
7) Matth. XXV. 34.
8) Sic edidit Bryennios pro ὡς ἀννὰ τῷ Θεῷ, quod legitur in MS. Cf. Matth. XXI. 9.
9) 1 Cor. XVI. 22.
10) Cf. 2 Joh. 10.

εἰς δὲ τὸ προσθεῖναι δικαιοσύνην καὶ γνῶσιν Κυρίου, δέξασθε αὐτὸν ὡς Κύριον [1]). Περὶ δὲ τῶν ἀποστόλων καὶ προφητῶν κατὰ τὸ δόγμα τοῦ εὐαγγελίου [2]), οὕτω ποιήσατε. Πᾶς δὲ ἀπόστολος ἐρχόμενος πρὸς ὑμᾶς δεχθήτω ὡς Κύριος· οὐ μενεῖ δὲ * ἡμέραν μίαν [3])· ἐὰν δὲ ᾖ χρεία, καὶ τὴν ἄλλην· τρεῖς δὲ ἐὰν μείνῃ, ψευδοπροφήτης ἐστίν. Ἐξερχόμενος δὲ ὁ ἀπόστολος μηδὲν λαμβανέτω εἰ μὴ ἕως οὗ αὐλισθῇ· ἐὰν δὲ ἀργύριον αἰτῇ, ψευδοπροφήτης ἐστί. Καὶ πάντα προφήτην λαλοῦντα ἐν πνεύματι οὐ πειράσετε οὐδὲ διακρινεῖτε· πᾶσα γὰρ ἁμαρτία ἀφεθήσεται, αὕτη δὲ ἡ ἁμαρτία οὐκ ἀφεθήσεται [4]). Οὐ πᾶς δὲ ὁ λαλῶν ἐν πνεύματι προφήτης ἐστίν, ἀλλ' ἐὰν ἔχῃ τοὺς τρόπους Κυρίου [5]). Ἀπὸ οὖν τῶν τρόπων γνωσθήσεται ὁ ψευδοπροφήτης καὶ ὁ προφήτης [6]). Καὶ πᾶς προφήτης * ὁρίζων [7]) τράπεζαν ἐν πνεύματι, οὐ φάγεται ἀπ' αὐτῆς, εἰ δὲ μήγε, ψευδοπροφήτης ἐστί· πᾶς δὲ προφήτης διδάσκων τὴν ἀλήθειαν, εἰ ἃ διδάσκει οὐ ποιεῖ [8]), ψευδοπροφήτης ἐστι. Πᾶς δὲ προφήτης δεδοκιμασμένος, ἀληθινός, * ποιῶν εἰς μυστήριον κοσμικὸν ἐκκλήσιας, μὴ διδάσκων δὲ ποιεῖν ὅσα αὐτὸς ποιεῖ, οὐ κριθήσεται ἐφ' ὑμῶν· μετὰ Θεοῦ γὰρ ἔχει τὴν κρίσιν· ὡσαύτως γὰρ ἐποίησαν καὶ οἱ ἀρχαῖοι προφῆται. Ὃς δ' ἂν εἴπῃ ἐν πνεύματι· Δός μοι ἀργύρια ἢ ἕτερά τινα, οὐκ ἀκούσεσθε αὐτοῦ [9])· ἐὰν δὲ περὶ ἄλλων ὑστερούντων εἴπῃ δοῦναι, μηδεὶς αὐτὸν κρινέτω.

---

1) Cf. Matth. X. 40, Luc. X. 16, Joh. XIII. 20.
2) Cf. Matth. X. 5—12, VII. 15—23, Luc. IX. 1—6, X. 4—21.
3) Fortasse legendum est εἰ μὴ ἡμέραν μίαν.
4) Cf. Matth. XII. 31, Luc. XII. 10, Marc. III. 28—30.
5) Cf. Matth. VII. 22, 23.
6) Matth. VII. 15, 16.
7) Habet MS. ὁ ῥιζων.
8) Matth. XXIII. 3.
9) Cf. Matth. X. 8.

Cap. XII.

Πᾶς δὲ ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου δεχθήτω, ἔπειτα δὲ δοκιμάσαντες αὐτὸν γνώσεσθε· σύνεσιν γὰρ ἕξετε [1] * δεξιὰν καὶ ἀριστεράν. Εἰ μὲν παρόδιός ἐστιν ὁ ἐρχόμενος, βοηθεῖτε αὐτῷ ὅσον δύνασθε· οὐ μενεῖ δὲ πρὸς ὑμᾶς εἰ μὴ δύο ἢ τρεῖς ἡμέρας, ἐὰν ᾖ ἀνάγκη. Εἰ δὲ θέλει πρὸς ὑμᾶς καθίσαι [2], τεχνίτης ὤν, ἐργαζέσθω καὶ φαγέτω [3]· εἰ δὲ οὐκ ἔχει τέχνην, κατὰ τὴν σύνεσιν ὑμῶν προνοήσατε, πῶς μὴ ἀργὸς μεθ' ὑμῶν ζήσεται χριστιανός. Εἰ δὲ οὐ θέλει οὕτω ποιεῖν, χριστέμπορός ἐστι· προσέχετε ἀπὸ τῶν τοιούτων.

Cap. XIII.

Πᾶς δὲ προφήτης ἀληθινός, θέλων καθίσαι πρὸς ὑμᾶς, ἄξιός ἐστι τῆς τροφῆς αὐτοῦ. Ὡσαύτως διδάσκαλος ἀληθινός ἐστιν ἄξιος καὶ αὐτός, ὥσπερ ὁ ἐργάτης, τῆς τροφῆς αὐτοῦ [4]. Πᾶσαν οὖν ἀπαρχὴν γεννημάτων ληνοῦ καὶ τοῦ ἅλωνος, βοῶν τε καὶ προβάτων, λαβὼν δώσεις [5] τοῖς προφήταις· αὐτοὶ γάρ εἰσιν οἱ ἀρχιερεῖς ὑμῶν. Ἐὰν δὲ μὴ ἔχητε προφήτην, δότε τοῖς πτωχοῖς. Ἐὰν σιτίαν ποιῇς, τὴν ἀπαρχὴν λαβὼν δὸς κατὰ τὴν ἐντολήν [6]. Ὡσαύτως κεράμιον οἴνου ἢ ἐλαίου ἀνοίξας, τὴν ἀπαρχὴν λαβὼν δὸς τοῖς προφήταις· ἀργυρίου δὲ καὶ ἱματισμοῦ καὶ παντὸς κτήματος λαβὼν τὴν ἀπαρχὴν ὡς ἄν σοι δόξῃ, δὸς κατὰ τὴν ἐντολήν.

Cap. XIV.

Κατὰ κυριακὴν δὲ * Κυρίου [7] συναχθέντες κλάσατε ἄρτον καὶ

1) In MS. est ἕξεται.
2) Edidit Bryennios καθῆσαι, quod barbarum est. Ita etiam c. XIII.
3) Cf. 2 Thess. III. 10.
4) Matth. X. 10, Luc. X. 17, 1 Cor. IX. 13, 14, 1 Tim. V. 17, 18.
5) Additur in MS. τὴν ἀπαρχήν, quod præcesserat.
6) Num. XVIII.
7) Cf. Apoc. I. 10.

εὐχαριστήσατε προεξομολογησάμενοι τὰ παραπτώματα ὑμῶν, ὅπως καθαρὰ ἡ θυσία ὑμῶν ᾖ. Πᾶς δὲ ἔχων τὴν ἀμφιβολίαν μετὰ τοῦ ἑταίρου αὐτοῦ μὴ συνελθέτω ὑμῖν, ἕως οὗ διαλλαγῶσιν [1]), ἵνα μὴ κοινωθῇ ἡ θυσία ὑμῶν· αὕτη γάρ ἐστιν ἡ ῥηθεῖσα ὑπὸ Κυρίου [2])· Ἐν παντὶ τόπῳ καὶ χρόνῳ προσφέρειν μοι θυσίαν καθαράν· ὅτι βασιλεὺς μέγας εἰμί, λέγει Κύριος, καὶ τὸ ὄνομά μου θαυμαστὸν ἐν τοῖς ἔθνεσι.

## Cap. XV.

Χειροτονήσατε οὖν [3]) ἑαυτοῖς ἐπισκόπους καὶ διακόνους ἀξίους τοῦ Κυρίου, ἄνδρας πραεῖς καὶ ἀφιλαργύρους καὶ ἀληθεῖς καὶ δεδοκιμασμένους· ὑμῖν γὰρ λειτουργοῦσι καὶ αὐτοὶ τὴν λειτουργίαν τῶν προφητῶν καὶ διδασκάλων. Μὴ οὖν ὑπερίδητε αὐτούς· αὐτοὶ γάρ εἰσιν οἱ τετιμημένοι ὑμῶν μετὰ τῶν προφητῶν καὶ διδασκάλων.

Ἐλέγχετε δὲ ἀλλήλους μὴ ἐν ὀργῇ, ἀλλ' ἐν εἰρήνῃ, ὡς ἔχετε ἐν τῷ εὐαγγελίῳ [4])· Καὶ παντὶ ἀστοχοῦντι κατὰ τοῦ ἑτέρου μηδεὶς λαλείτω μηδὲ παρ' ὑμῶν ἀκουέτω, ἕως οὗ μετανοήσῃ. Τὰς δὲ εὐχὰς ὑμῶν καὶ τὰς ἐλεημοσύνας καὶ πάσας τὰς πράξεις οὕτω ποιήσατε, ὡς ἔχετε ἐν τῷ εὐαγγελίῳ τοῦ Κυρίου ἡμῶν [5]).

## Cap. XVI.

Γρηγορεῖτε ὑπὲρ τῆς ζωῆς ὑμῶν· οἱ λύχνοι ὑμῶν μὴ σβεσθήτωσαν, καὶ αἱ ὀσφύες ὑμῶν μὴ ἐκλυέσθωσαν [6]), ἀλλὰ γί-

1) Cf. Matth. V. 23, 24. 2) Mal. I. 11, 14.
3) Præferrem δὲ.
4) Matth. V. 22, XVIII. 15—17, 21—35.
5) Matth. VI, VII, Luc. XI, XII. Cf. Col. III. 17.
6) Luc. XII. 35, 1 Petr. I. 13.

135 1446 ue



νεσθε ἕτοιμοι· οὐ γὰρ οἴδατε τὴν ὥραν, ἐν ᾗ ὁ Κύριος ἔρχεται [1]). Πυκνῶς δὲ συναχθήσεσθε ζητοῦντες τὰ ἀνήκοντα ταῖς ψυχαῖς ὑμῶν· οὐ γὰρ ὠφελήσει ὑμᾶς ὁ πᾶς χρόνος τῆς πίστεως ὑμῶν, ἐὰν μὴ ἐν τῷ ἐσχάτῳ καιρῷ τελειωθῆτε. Ἐν γὰρ ταῖς ἐσχάταις ἡμέραις πληθυνθήσονται οἱ ψευδοπροφῆται καὶ οἱ φθορεῖς καὶ στραφήσονται τὰ πρόβατα εἰς λύκους καὶ ἡ ἀγάπη στραφήσεται εἰς μῖσος· αὐξανούσης γὰρ τῆς ἀνομίας, μισήσουσιν ἀλλήλους καὶ διώξουσι καὶ παραδώσουσι, καὶ τότε φανήσεται ὁ κοσμοπλάνος ὡς υἱὸς Θεοῦ καὶ ποιήσει σημεῖα καὶ τέρατα, καὶ ἡ γῆ παραδοθήσεται εἰς χεῖρας αὐτοῦ, καὶ ποιήσει ἀθέμιτα, ἃ οὐδέποτε γέγονεν ἀπ᾽ αἰῶνος [2]). Τότε ἥξει ἡ κτίσις τῶν ἀνθρώπων εἰς πύρωσιν τῆς δοκιμασίας καὶ σκανδαλισθήσονται πολλοὶ καὶ ἀπολοῦνται [3]), οἱ δὲ ὑπομείναντες ἐν τῇ πίστει αὐτῶν σωθήσονται [4]) * ὑπ᾽ αὐτοῦ τοῦ καταθέματος [5]). Καὶ τότε φανήσεται τὰ σημεῖα τῆς ἀληθείας [6])· πρῶτον, σημεῖον ἐκπετάσεως ἐν οὐρανῷ, εἶτα σημεῖον φωνῆς σάλπιγγος, καὶ τὸ τρίτον ἀνάστασις νεκρῶν [7])· οὐ πάντων δέ, ἀλλ᾽ ὡς ἐρρέθη· Ἥξει ὁ Κύριος καὶ πάντες οἱ ἅγιοι μετ᾽ αὐτοῦ [8]). Τότε ὄψεται ὁ κόσμος τὸν Κύριον ἐρχόμενον ἐπάνω τῶν νεφελῶν τοῦ οὐρανοῦ [9]).

---

1) Matth. XXIV. 42, 44, Apoc. III. 3.

2) 2 Tim. III. 1, Jud. 18, Matth. XXIV. 3—14, 24—31, 2 Thess. II. 1—12, al.

3) Zach. XIII. 8.

4) Matth. X. 22, XXIV. 13.

5) Conjecit Bryennios legendum esse ἐπ᾽ αὐτοῦ τοῦ κάτω θέματος, addidit ἤγουν ἐπὶ τῆς γῆς.

6) Cf. Matth. XXIV. 3, 30.

7) 1 Thess. IV. 13—17, 1 Cor. XV. 51, 52.

8) Zach. XIV. 5.

9) Matth. XXIV. 30.

## CORRIGENDA.

---

C. IV pro *οὐ ποθήσεις σχίσμα* (MS.) legatur *οὐ ποιήσεις σχίσμα.*

C. XIV pro *εὐχαριστήσατε προσεξομολογησάμενοι* (MS.) legatur *εὐχαριστήσατε προεξομολογησάμενοι.*

---